λόν μου, καὶ ἐπιβλέψεται ὁδὸν πρὸ προσώπου μου, καὶ ἐξαίφνης
ἥξει εἰς τὸν ναὸν ἑαυτοῦ κύριος, ὃν ὑμεῖς ζητεῖτε, καὶ ὁ ἄγγελος
τῆς διαθήκης, ὃν ὑμεῖς θέλετε· ἰδοὺ ἔρχεται, λέγει κύριος παντο-
2 κράτωρ. [2]καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ; ἢ τίς ὑποστή-
σεται ἐν τῇ ὀπτασίᾳ αὐτοῦ; διότι αὐτὸς εἰσπορεύεται ὡς πῦρ
3 χωνευτηρίου καὶ ὡς πόα πλυνόντων. [3]καὶ καθιεῖται χωνεύων καὶ
καθαρίζων ὡς τὸ ἀργύριον καὶ ὡς τὸ χρυσίον· καὶ καθαρίσει τοὺς
υἱοὺς Λευι καὶ χεεῖ αὐτοὺς ὡς τὸ χρυσίον καὶ ὡς τὸ ἀργύριον·
4 καὶ ἔσονται τῷ κυρίῳ προσάγοντες θυσίαν ἐν δικαιοσύνῃ. [4]καὶ
ἀρέσει τῷ κυρίῳ θυσία Ιουδα καὶ Ιερουσαλημ καθὼς αἱ ἡμέραι τοῦ
5 αἰῶνος καὶ καθὼς τὰ ἔτη τὰ ἔμπροσθεν. [5]καὶ προσάξω πρὸς ὑμᾶς
ἐν κρίσει καὶ ἔσομαι μάρτυς ταχὺς ἐπὶ τὰς φαρμακοὺς καὶ ἐπὶ τὰς
μοιχαλίδας καὶ ἐπὶ τοὺς ὀμνύοντας τῷ ὀνόματί μου ἐπὶ ψεύδει καὶ
ἐπὶ τοὺς ἀποστεροῦντας μισθὸν μισθωτοῦ καὶ τοὺς καταδυναστεύ-
οντας χήραν καὶ τοὺς κονδυλίζοντας ὀρφανοὺς καὶ τοὺς ἐκκλίνοντας
κρίσιν προσηλύτου καὶ τοὺς μὴ φοβουμένους με, λέγει κύριος
παντοκράτωρ.
6 [6]Διότι ἐγὼ κύριος ὁ θεὸς ὑμῶν, καὶ οὐκ ἠλλοίωμαι· καὶ ὑμεῖς,
7 υἱοὶ Ιακωβ, οὐκ ἀπέχεσθε [7]ἀπὸ τῶν ἀδικιῶν τῶν πατέρων ὑμῶν,
ἐξεκλίνατε νόμιμά μου καὶ οὐκ ἐφυλάξασθε. ἐπιστρέψατε πρός με,
καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει κύριος παντοκράτωρ. καὶ
8 εἴπατε Ἐν τίνι ἐπιστρέψωμεν; [8]εἰ πτερνιεῖ ἄνθρωπος θεόν; διότι
ὑμεῖς πτερνίζετέ με. καὶ ἐρεῖτε Ἐν τίνι ἐπτερνίκαμέν σε; ὅτι τὰ
9 ἐπιδέκατα καὶ αἱ ἀπαρχαὶ μεθ᾽ ὑμῶν εἰσιν· [9]καὶ ἀποβλέποντες ὑμεῖς
10 ἀποβλέπετε, καὶ ἐμὲ ὑμεῖς πτερνίζετε· τὸ ἔθνος συνετελέσθη. [10]καὶ
εἰσηνέγκατε πάντα τὰ ἐκφόρια εἰς τοὺς θησαυρούς, καὶ ἐν τῷ οἴκῳ
αὐτοῦ ἔσται ἡ διαρπαγὴ αὐτοῦ. ἐπισκέψασθε δὴ ἐν τούτῳ, λέγει
κύριος παντοκράτωρ, ἐὰν μὴ ἀνοίξω ὑμῖν τοὺς καταρράκτας τοῦ
οὐρανοῦ καὶ ἐκχεῶ ὑμῖν τὴν εὐλογίαν μου ἕως τοῦ ἱκανωθῆναι·
11 [11]καὶ διαστελῶ ὑμῖν εἰς βρῶσιν καὶ οὐ μὴ διαφθείρω ὑμῶν τὸν καρ-
πὸν τῆς γῆς, καὶ οὐ μὴ ἀσθενήσῃ ὑμῶν ἡ ἄμπελος ἡ ἐν τῷ ἀγρῷ,

1 εαυτου BS*L*] αυτου A*C*, > QW† || 2 η] και A† | ποα QS$^{c}$*LC*] ποια BA, πλοια S*†: cf. Thack. p. 93 || 3 και $1^{0}$ > B† | ως $2^{0}$ > SQ*LC*† (αργυριον $1^{0}$ ⌒ $2^{0}$ W†) | ως $3^{0}$] ωσπερ BS* | χρυσιον $2^{0}$ … αργυρ. $2^{0}$] tr. A† | ως $4^{0}$] > S*, ωσπερ A† | θυσιας SQ*C* || 4 θυσια] pr. η S† || 5 προς > AV† | χηρας S$^{c}$*LC* || 6 και $1^{0}$ > A† | απεσχεσθε A || 7 επιστρεψατε] -στραφητε A | παντοκρ.] pr. ο B*† || 8 ει] μητι BS*† | ερειτε BS*QW] ειπατε AS$^{c}$*LC* | επτερνικαμεν AW] -νισαμεν BSQ*LC* || 9 εθνος S*Q$^{mg}$†] ετος rel. || 10 τα > B† | τον θησαυρον S$^{c}$W† | εν τω οι. αυτου / εσται η διαρπ. αυτου AQW] tr. BS(†), η διαρπ. αυτων εν τοις οικοις υμων S$^{c}$, η διαρπ. του πτωχου εις τους οικους υμων *L* | επισκεψασθε BS*QW(†)] επιστρεψατε rel. || 11 εις] την A† | διαφθερω A† | ασθενησει BA | υμων / η αμπ.] tr. A | τω > A†